# Métrodóros z Chiu

Testimonia DK 70 A

**A 1** /1 = Kléméns Alex., Stromata I, 64 (D. 244, D. 601)
Δημοκρίτου δὲ ἀκουσταὶ Πρωταγόρας ὁ ᾿Αβδηρίτης καὶ Μητρόδωρος ὁ Χῖος, οὗ Διογένης ὁ Σμυρναῖος, οὗ ᾿Ανάξαρχος, τούτου δὲ Πύρρων, οὗ Ναυσιφάνης· τούτου φασὶν ἔνιοι μαθητὴν ᾿Επίκουρον γενέσθαι.

**A 1** /2 = Suidás, Lexicon s. v. Πύρρων
Πύρρων ... διήκουσε Βρύσωνος ... εἶτα ᾿Αναξάρχου τοῦ Μητροδώρου μαθητοῦ τοῦ Χίου, οὗ διδάσκαλος ἦν Μητρόδωρος ὁ ᾿Αβδηρίτης.

**A 1a** = Athénaios, Deipnosophistae III, 100d
μνημονεύει τῆς μήτρας καὶ ᾿Αντιφάνης ἐν Φιλομήτορι (fr. 220; II, 108 K.) οὕτως·
ἔμμητρον ἂν ἦι τὸ ξύλον, βλάστην ἔχει·
μητρόπολίς ἐστιν, οὐχὶ πατρόπολις <πόλις>·
μήτραν τινὲς πωλοῦσιν ἥδιστον κρέας·
Μητρᾶς ὁ Χῖός ἐστι τῶι δήμωι φίλος.

**A 2** = Aetios I, 3, 17 (D. 285)
Μητρόδωρος Θεοκρίτου Χῖος τὰ ἀδιαίρετα καὶ τὸ κενόν (ἀρχὰς εἶναι).

**A 2** /2 = Suidás, Lexicon
Θεόκριτος Χῖος ῥήτωρ μαθητὴς Μητροδώρου τοῦ ᾿Ισοκρατικοῦ.

**A 3** = Theofrastos, Phys. opin. fr. 8 (Simpl. Phys. 28, 27)
καὶ Μητρόδωρος δὲ ὁ Χῖος ἀρχὰς σχεδόν τι τὰς αὐτὰς τοῖς περὶ Δημόκριτον ποιεῖ, τὸ πλῆρες καὶ τὸ κενὸν τὰς πρώτας αἰτίας ὑποθέμενος, ὧν τὸ μὲν ὄν, τὸ δὲ μὴ ὂν εἶναι· περὶ δὲ τῶν ἄλλων ἰδίαν τινὰ ποιεῖται τὴν μέθοδον.

**A 4** = Pseudo-Plútarchos, Stromata 11 (D. 582)
Μητρόδωρος ὁ Χῖος ἀίδιον εἶναί φησι τὸ πᾶν, ὅτι εἰ ἦν γενητόν, ἐκ τοῦ μὴ ὄντος ἂν ἦν· ἄπειρον δέ, ὅτι ἀίδιον· οὐ γὰρ ἔχειν ἀρχὴν ὅθεν ἤρξατο οὐδὲ πέρας οὐδὲ τελευτήν· ἀλλ᾿ οὐδὲ κινήσεως μετέχειν τὸ πᾶν. κινεῖσθαι γὰρ ἀδύνατον μὴ μεθιστάμενον· μεθίστασθαι δὲ ἀναγκαῖον ἤτοι εἰς πλῆρες ἢ εἰς κενόν. *** πυκνούμενον δὲ τὸν ἀέρα ποιεῖν νεφέλας εἶτα ὕδωρ, ὃ καὶ κατιὸν ἐπὶ τὸν ἥλιον σβεννύναι αὐτόν, καὶ πάλιν ἀραιούμενον ἐξάπτεσθαι χρόνωι δὲ πήγνυσθαι τῶι

ξηρῶι τὸν ἥλιον καὶ ποιεῖν ἐκ τοῦ λαμπροῦ ὕδατος ἀστέρας, νύκτα τε καὶ ἡμέραν ἐκ τῆς σβέσεως καὶ ἐξάψεως καὶ καθόλου τὰς ἐκλείψεις ἀποτελεῖν.

**A 5** = Simplikios, Physica 1121, 21
ἀπ᾽ ἀρχῆς δὲ χρόνου δοκοῦσι λέγειν γεγονέναι τὸν κόσμον ᾽Αναξαγόρας τε καὶ ᾽Αρχέλαος καὶ Μητρόδωρος ὁ Χῖος.

**A 6** = Aetios I, 5, 4 (D. 292)
Μητρόδωρος ὁ καθηγητὴς ᾽Επικούρου φησὶν ἄτοπον εἶναι ἐν μεγάλωι πεδίωι ἕνα στάχυν γενηθῆναι καὶ ἕνα κόσμον ἐν τῶι ἀπείρωι. ὅτι δὲ ἄπειροι κατὰ τὸ πλῆθος, δῆλον ἐκ τοῦ ἄπειρα τὰ αἴτια εἶναι. εἰ γὰρ ὁ κόσμος πεπερασμένος, τὰ δ᾽ αἴτια πάντα ἄπειρα, ἐξ ὧν ὅδε ὁ κόσμος γέγονεν, ἀνάγκη ἀπείρους εἶναι· ὅπου γὰρ τὰ αἴτια ἄπειρα, ἐκεῖ καὶ τἀποτελέσματα. αἴτια δὲ ἤτοι αἱ ἄτομοι ἢ τὰ στοιχεῖα.

**A 7** = Aetios II, 1, 3 (D. 327)
... Διογένης, Λεύκιππος, Δημόκριτος, ᾽Επίκουρος καὶ ὁ τούτου καθηγητὴς Μητρόδωρος ἀπείρους κόσμους ἐν τῶι ἀπείρωι κατὰ πᾶσαν περιαγωγήν (sc. γίγνεσθαι καὶ φθείρεσθαι).

**A 8** = Simplikios, Physica 648, 14
καὶ ἔξω τοῦ κόσμου (κενὸν εἶναι), ὅπερ δῆλον ὅτι τόπος μὲν οὐκ ἂν εἴη, αὐτὸ δὲ καθ᾽ αὑτὸ ὑφέστηκε. ταύτης δὲ τῆς δόξης γέγονε καὶ Μητρόδωρος ὁ Χῖος.

**A 9** = Aetios II, 17, 1 (D. 346)
Μητρόδωρος ἅπαντας τοὺς ἀπλανεῖς ἀστέρας ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι.

**A 10** = Aetios II, 18, 2 (D. 347)
Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους καὶ καταπλήξεως εἶναι στιλβηδόνας (τοὺς Διοσκούρους).

**A 11** = Aetios II, 20, 8 (D. 349b 10)
Παρμενίδης καὶ Μητρόδωρος πύρινον ὑπάρχειν τὸν ἥλιον.

**A 12** = Aetios II, 27, 5 (D. 358)
Θαλῆς πρῶτος ἔφη ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι ... Μητρόδωρος ὁμοίως.

**A 13** = Aetios III, 1, 3 (D. 365)
Μητρόδωρος διὰ τὴν πάροδον τοῦ ἡλίου (γίνεσθαι τὸν γαλαξίαν)· τοῦτον γὰρ εἶναι τὸν ἡλιακὸν κύκλον.

**A 14** = Aetios III, 2, 10 (D. 367)
Μητρόδωρος τὴν εἰς τὰ νέφη τοῦ ἡλίου βίαιον ἔμπτωσιν πολλάκις σπινθηρίζειν.

**A 15** = Aetios III, 3, 3 (D. 368)
Μητρόδωρος ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσηι πνεῦμα, τῆι μὲν συνθραύσει τὸν κτύπον ἀποτελεῖ, τῆι δὲ πληγῆι καὶ τῶι σχισμῶι διαυγάζει, τῆι δ᾽ ὀξύτητι τῆς φορᾶς προσλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα κεραυνοβολεῖ, τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιίστησιν.

**A 16** = Aetios III, 4, 3 (D. 371)
Μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς ἐπὶ τοῦ ἀέρος συνίστασθαι τὰ νέφη.

**A 17** = Aetios III, 5, 12 (D. 374)
Μητρόδωρος ὅταν διὰ νεφῶν ἥλιος διαλάμψηι, τὸ μὲν νέφος κυανίζειν, τὴν δ᾽ αὐγὴν ἐρυθραίνεσθαι.

**A 17** /2 = Schol. Arat. p. 516 Maab (D. 231)
Μητρόδωρος τὴν ἶριν αἰτιολογῶν φησιν· ὅταν ἐξ ἐναντίας τῶι ἡλίωι ἐνσταθῆι νέφος πεπυκνωμένον, τηνικαῦτα ἐμπιπτούσης τῆς αὐγῆς τὸ μὲν νέφος φαίνεται κυανοῦν διὰ τὴν κρᾶσιν, τὸ δὲ περιφαινόμενον τῆι αὐγῆι φοινικοῦν, τὸ δὲ ὂν κάτω λευκόν. τοῦτο εἶναι ἔθεσαν ἡλιακὸν φέγγος.

**A 18** = Aetios III, 7, 3 (D. 375)
Μητρόδωρος ὑδατώδους ἀναθυμιάσεως διὰ τὴν ἡλιακὴν ἔκκαυσιν γίνεσθαι ὁρμὴν πνευμάτων θείων· τοὺς δὲ ἐτησίας πνεῖν τοῦ πρὸς ταῖς ἄρκτοις παχυνθέντος ἀέρος ὑποχωροῦντι τῶι ἡλίωι κατὰ τὴν θερινὴν τροπὴν ἐπισυρρέοντος.

**A 19** = Alexandros, Meteor. p. 67, 17 (59 A 90).
Aetios III 16, 5 (D. 382)
Μητρόδωρος διὰ τὸ διηθεῖσθαι διὰ τῆς γῆς μετειληφέναι τοῦ περὶ αὐτὴν παχέος καθάπερ τὰ διὰ τῆς τέφρας ὑλιζόμενα.

**A 20** = Aetios III, 9, 5 (D. 376)
Μητρόδωρος τὴν μὲν γῆν ὑπόστασιν εἶναι καὶ τρύγα τοῦ ὕδατος, τὸν δὲ ἥλιον τοῦ ἀέρος.

**A 21** = Aetios III, 15, 6 (D. 380)

Μητρόδωρος μηδὲν ἐν τῶι οἰκείωι τόπωι σῶμα κινεῖσθαι, εἰ μή τις προώσειεν ἢ καθελκύσειε κατ᾽ ἐνέργειαν. διὸ μηδὲ τὴν γῆν ἅτε δὴ κειμένην φυσικῶς κινεῖσθαι, τόπους δέ τινας αὐτῆς *** νοστεῖν τοῖς ἄλλοις.

**A 21** /2 = Seneca, Natur. quaest. VI, 19, 1. 2
Metrodorum Chium ... audiamus ... dicit: ‘quomodo cum in dolii cantant os, vox illa per totum cum quadam discussione percurrit ac resonat et tam leviter mota tamen circumit non sine tactu eius tumultuque, quo inclusa est: sic speluncarum sub terra pendentium vastitas habet aera suum, quem simul alius superne incidens percussit, agitat non aliter quam illa, de quibus paulo ante retuli, inania indito clamore sonuerunt’.

**A 22** = Aetios IV 9, 1 (D. 396)
Δημόκριτος, Μητρόδωρος, Πρωταγόρας, Πλάτων ψευδεῖς εἶναι τὰς αἰσθήσεις.

**A 23** = Epifanios, Adv. haer. III, 2, 9 (D. 590, 35)
Μητρόδωρος ὁ Χῖος ἔφη μηδένα μηδὲν ἐπίστασθαι, ἀλλὰ ταῦτα, ἃ δοκοῦμεν γινώσκειν, ἀκριβῶς οὐκ ἐπιστάμεθα οὐδὲ ταῖς αἰσθήσεσι δεῖ προσέχειν· δοκήσει γάρ ἐστι τὰ πάντα.

**A 24** = Aristoklés, fr 4.10 Heiland in: Eusebios, Praeparatio evangelica XIV, 20, 1
ἔνιοι μέντοι φασὶ καὶ τὸν Ὅμηρον αἰνίττεσθαι τὸ τοιοῦτο πάντων ἀποφαίνοντα τὸν ᾽Ωκεανὸν ἀρχήν, ὡς ἐν ῥύσει τῶν πραγμάτων ὄντων· ὧν δ᾽ ἴσμεν ἔοικε μὲν καὶ Μητρόδωρος ὁ Χῖος τὸ αὐτὸ τοῦτο λέγειν, οὐ μὴν ἀλλ᾽ ἄντικρύς γε Πρωταγόρας ὁ ᾽Αβδηρίτης.

**A 25** /1 = Sextos Empeirikos, Adversus mathematicos VII, 87. 88
οὐκ ὀλίγοι δὲ ἦσαν ... οἱ καὶ τοὺς περὶ Μητρόδωρον καὶ ᾽Ανάξαρχον, ἔτι δὲ Μόνιμον, φήσαντες ἀνῃρηκέναι τὸ κριτήριον, ἀλλὰ Μητρόδωρον μὲν ὅτι εἶπεν· ᾽οὐδὲν ἴσμεν οὐδ᾽ αὐτὸ τοῦτο ἴσμεν ὅτι οὐδὲν ἴσμεν᾽.

**A 25** /2 = Filodémos, Rhet. fr. inc. 3, 1 (II, 169 Sudhaus)
οὐ γὰρ ἂν κατ᾽ ᾽Α<ν>αξα<γόραν φ>ήσαι τις ἀκολούθω<ς πᾶν> ὑπάρχειν ἐν παντ<ὶ οὐδ᾽ ἂν> κατὰ τὸ<ν> Χεῖον Μητ<ρᾶν> ὁμολογώιη τῶι μὴ <εἰδέ>ναι μηδ᾽ αὐτὸ τοῦτο.